Laur. pl. 32.9, f. 123r: Aesch. *Pers*. 341-384 with scholia

Ξέρξηι δέ, καὶ γὰρ οἶδα, χιλιὰς μὲν ἦν
ὧν ἦγε πλῆθος, αἱ δ' ὑπέρκοποι τάχει
ἑκατὸν δὶς ἦσαν ἑπτά θ'· ὧδ' ἔχει λόγος — The best ships were 207 or 214, in case δίς should be in common
μή σοι δοκοῦμεν τῆιδε λειφθῆναι μάχης;
(345) ἀλλ' ὧδε δαίμων τις κατέφθειρε στρατὸν
τάλαντα βρίσας οὐκ ἰσορρόπωι τύχηι. — Weighing down Persians' beam of the balance; "down sank the day of doom of the Achaeans" (*Il*. 8,72)
—— θεοὶ πόλιν σώιζουσι Παλλάδος θεᾶς.
—— ἔτ' ἆρ' Ἀθηνῶν ἔστ' ἀπόρθητος πόλις;
—— ἀνδρῶν γὰρ ὄντων ἕρκος ἐστὶν ἀσφαλές.
—— ἀρχὴ δὲ ναυσὶ συμβολῆς τίς ἦν, φράσον· — Alcaeus: "for men are a city's warlike tower" (fr. 112,10 V.)
τίνες κατῆρξαν, πότερον Ἕλληνες, μάχης,
ἢ παῖς ἐμός, πλήθει καταυχήσας νεῶν;
Messenger ἦρξεν μέν, ὦ δέσποινα, τοῦ παντὸς κακοῦ — A Greek man: since the Greeks intended to flee because of the great number of the Persians, Themistocles sent Sikinnos, his paedagogus, to Xerxes as a deserter, telling Xerxes that the Greeks were about to flee. He did this so that the Greeks would fight in desperation
φανεὶς ἀλάστωρ ἢ κακὸς δαίμων ποθέν·
(355) ἀνὴρ γὰρ Ἕλλην ἐξ Ἀθηναίων στρατοῦ
ἐλθὼν ἔλεξε παιδὶ σῶι Ξέρξηι τάδε·
ὡς εἰ μελαίνης νυκτὸς ἵξεται κνέφας
Ἕλληνες οὐ μενοῖεν, ἀλλὰ σέλμασιν
ναῶν ἐπανθορόντες ἄλλος ἄλλοσε
(360) δρασμῶι κρυφαίωι βίοτον ἐκσωσοίατο.
ὁ δ' εὐθὺς ὡς ἤκουσεν, οὐ ξυνεὶς δόλον
Ἕλληνος ἀνδρὸς οὐδὲ τὸν θεῶν φθόνον,
πᾶσιν προφωνεῖ τόνδε ναυάρχοις λόγον·
As if it were Xerxes to speak — εὖτ' ἂν φλέγων ἀκτῖσιν ἥλιος χθόνα — Periphrastically 'the aether'
λήξηι, κνέφας δὲ τέμενος αἰθέρος λάβηι,
multitude
τάξαι νεῶν στῖφος μὲν ἐν στοίχοις τρισίν, — 'Order' is in common
ἄλλας δὲ κύκλωι νῆσον Αἴαντος πέριξ
The ways out — ἔκπλους φυλάσσειν καὶ πόρους ἁλιρρόθους·
ὡς εἰ μόρον φευξοίαθ' Ἕλληνες κακόν,
(370) ναυσὶν κρυφαίως δρασμὸν εὑρόντες τινά,
πᾶσι στέρεσθαι κρατὸς ἦν προκείμενον.
τοσαῦτ' ἔλεξε κάρθ' ὑπ' εὐθύμου φρενός,
οὐ γὰρ τὸ μέλλον ἐκ θεῶν ἠπίστατο.
οἱ δ' οὐκ ἀκόσμως ἀλλὰ πειθάρχωι φρενὶ
(375) δεῖπνόν τ' ἐπορσύνοντο, ναυβάτης τ' ἀνὴρ
τροποῦτο κώπην σκαλμὸν ἀμφ' εὐήρετμον. — He fastened the well-fitted oar around the oarlock.
ἐπεὶ δὲ φέγγος ἡλίου κατέφθιτο — †τροπωτῆροδω† securing the oar to the oarlock:
˚ καὶ νὺξ ἐπήιει, πᾶς ἀνὴρ κώπης ἄναξ — ˚ And night fell, and none of the Greeks deemed it worthy :
versed in
ἐς ναῦν ἐχώρει, πᾶς θ' ὅπλων ἐπιστάτης·
warship
(380) τάξις δὲ τάξιν παρεκάλει νεὼς μακρᾶς,
πλέουσι δ' ὡς ἕκαστος ἦν τεταγμένος·
καὶ πάννυχοι δὴ διάπλοον καθίστασαν
ναῶν ἄνακτες πάντα ναυτικὸν λεών.
καὶ νὺξ ἐχώρει, κοὐ μάλ' Ἑλλήνων στρατὸς